Ἡ κρη, πρὸ μὲν τοῦ γ, ἢ δ, ἢ μ, ἢ π μονοσυμφώνως τῷ η. κρήγυον, κρήδεμνον, κρημνὸς, κρηπίς. πλὴν τοῦ κρυμὸς, τῷ υ,

Πρὸ δὲ φωνήεντος, τῷ ι. κριός. πλὴν τοῦ κρύος, τῷ υ καὶ κρείων, τῇ ει.

Ἔτι πρὸ τοῦ β, καὶ θ, καὶ κ, καὶ ν. κρίβανον, κριθὴ κρίκος κρίνω. πλὴν τοῦ κρήνη, τῷ η.

Ἔτι πρὸ τοῦ σ. καὶ τ. κρίσις, κριτής. πλὴν τοῦ κρὴς, καὶ κρητωνια, τῷ η. καὶ κροῖσος, τῇ οι. μέσον το μέγα.

Πρὸ δὲ τοῦ πτ, τῷ υ. κρύπτω. ὅθεν τὸ κρύβδην.

Ἡ κτη, πρὸ μὲν τοῦ δ, ἢ μ, ἢ ν, τῷ η. κτηδὼν, κτῆμα, κτῆνος. πλὴν τοῦ κτεινω ὅθεν τὸ κτιννύω, τῷ ι.

Πρὸ δὲ τοῦ σ, τῇ ει. κτείς. τὸ δὲ κτίσις ἀπὸ ἐκτίσθαι, τῷ ι. καὶ κτῆσις ἀπὸ τοῦ κεκτῆσθαι, τῷ η.

Πρὸ δὲ τοῦ ζ, καὶ λ, τῷ ι. κτίζω, κτίλος.

Πρὸ δὲ τοῦ π, τῷ υ. κτύπος.

Ἡ κο, τῷ μικρῷ. πλὴν ἔνθα τὸ β, ἢ δ, ἢ φ, ἕπεται κωβιὸς, κώδων, κωφὸς. καὶ πλὴν τῶν κώθων κωκυτὸς κωλύω, κῶλον, κῶμος, κώμη τῆς συνοικήσεως, κῶνος, κώνωψ, κώπη, κῶς, κωτίλλειν, κωχεύειν μέσον το ε, καὶ υ. κολ ὸς, κόνδυλος. πλὴν τοῦ κοχλείας, κωβιὸς, κόρινθος, Κόρινος, κότινος, κόσκινον, κόψιχος, κωτίλλω, τῷ ι, καὶ κορησὸς, τῷ η. καὶ κολοιὸς, Κόρηβος, τῇ οι, καὶ κώνειον, τῇ ει. καὶ τὸ μικρὸν. κολοκύνθη. πλὴν τῶν κολύνη, κορώνη, κολωφὸς, κομμωτική.